νυχίαν ἡμᾶς
κοίταν πανόπλους κατέχοντας;
ΧΟ. ὁπλίζου χέρα, συμμάχων, str.
Ἕκτορ, βᾶθι πρὸς εὐνάς,
ὄτρυνον ἔγχος ἀείρειν, ἀφύπνισον,
πέμπε φίλους ἰέναι ποτὶ σὸν λόχον,
ἁρμόσατε ψαλίοις ἵππους.
τίς εἶσ᾽ ἐπὶ Πανθοΐδαν,
ἢ τὸν Εὐρώπας, Λυκίων ἀγὸν ἀνδρῶν;
ποῦ σφαγίων ἔφοροι;
ποῦ δὲ γυμνήτων μόναρχοι;
τοξοφόροι δὲ Φρυγῶν
ζεύγνυτε κερόδετα τόξα νευραῖς.
ΕΚ. τὰ μὲν ἀγγέλλεις δείματ᾽ ἀκούειν,
τὰ δὲ θαρσύνεις, κοὐδὲν καθαρῶς·
ἀλλ᾽ ἦ Κρονίου Πανὸς τρομερᾷ
μάστιγι φοβεῖ; φυλακὰς δὲ λιπὼν
κινεῖς στρατιάν. τί θροεῖς; τί σε φῶ
νέον ἀγγέλλειν; πολλὰ γὰρ εἰπὼν
οὐδὲν τρανῶς ἀπέδειξας.
ΧΟ. πύρ᾽ αἴθει στρατὸς Ἀργόλας, antistr.
Ἕκτορ, πᾶσαν ἀν᾽ ὄρφναν,
διιπετῆ δὲ νεῶν πυρσοῖς σταθμά.
πᾶς δ᾽ Ἀγαμεμνονίαν προσέβα στρατὸς
ἐννύχιος θορύβῳ σκηνάν,
νέαν τιν᾽ ἐφιέμενοι
βάξιν. οὐ γάρ πω πάρος ὧδ᾽ ἐφοβήθη
ναυσιπόρος στρατιά.
σοὶ δ᾽, ὑποπτεύων τὸ μέλλον,
ἦλυθον ἄγγελος, ὡς
μήποτέ τιν᾽ ἐς ἐμὲ μέμψιν εἴπῃς.
ΕΚ. εἰς καιρὸν ἦλθες, καίπερ ἀγγέλλων φόβον·

---

23. *συμμάχων*] Hermannus, *σύμμαχον* libri. 32. *δέ* bc *τε* reliqui. 33. *τόξα γε BC* 41. *πύρ᾽ αἴθει*] Hartungius, *πυραίθει* libri. 43. *ναῶν CBC πυρσοῖσι* bc *πυρσοὶ ABC* 51. *μήποτέ τιν᾽ ἐς ἐμὲ μέμψιν εἴπῃς*] Lindemannus, *μήποτέ τινα μέμψιν εἰς ἔμ᾽* (*ἐς ἡμᾶς C*) *εἴπῃς* libri.